ἀρθρ. στιχ.

ἐκ γοῦν πεπασμοῦ γνόντα τήνδ᾽ ἐγκαιρίαν (χ)
ταύτῃ τ᾽ ἄγειν ὅπηπερ ἡ φύσις ῥέπει, κθ. 630
προεξετάζων ξυμφέροντα χωρία
δι᾽ ὧν κακοῦντας ἀβλαβῶς χυμοὺς ἄγοι·
καὶ τῇδ᾽ ἀμύνειν ἣν ἀπαυδῶσαν βλέπῃ, -- 624
καὶ μαλθακίζειν ἥν ποτ᾽ ἠρεθισμένην· -- 625
καὶ μήποτε δρᾷν τῇδ᾽ ὅγ᾽ ἐς ἐναντίον, -- 627
εἴκειν δὲ μικρὸν τῇσδε ταῖς ὁρμαῖς ὅσον (ψ)·
δρώσης δ᾽ ἐκείνης, ἠρεμεῖν τοῦτον δέον, ις. 630
ἧς ἠρεμούσης, τόνδ᾽ ἐνεργεῖν ἐς σθένος· ιζ. 336
ἄγειν δ᾽ ἅπερ χρὴ καὶ νοσοῦσι ξυμφέρει (ω),
ταῦθ᾽ ἃ ξυνιστᾷ τῆς νόσου τὴν αἰτίαν. κθ. 623

*ΛΑ.* Εἰ πάντ᾽ ἀληθῆ ταῦτ᾽ ἀναντίρρητά τε
τοῖς εὖ φρονοῦσι τῶν Ἰατρῶν τυγχάνει,
πρὸς δ᾽ ἀσφαλῆ τε τοῖς νόσῳ κακουμένοις,
πῶς ἂν δοκοίην μεμπτός; ὃς παντὶ σθένει
τὸν νοῦν προσίσχων τοῖσδ᾽ ἐν ἀλθέξει νόσων
τῶνδ᾽ οὐκ ἀπέστην πώποτ᾽ οὐδ᾽ ἐξετράπην.
ἐγὼ γὰρ ἐν κάμνουσιν οὐδέν τι πλέον
εἴωθά πω δρᾷν, ἢ ῥοπὰς σκοπεῖν μόνον, λ. 650

ἃς

---

(χ) περὶ εὐσχημοσ. β. παραγγελμ. ά ἀφορ. *Α.* κβ. χυμῶν α. γ΄ διαίτ. ὀξ. ι. ἀφορ. *Α.* κα. κβ. κε. τόπων τῶν κατ᾽ ἄνθρ. νε. ἐπιδ. ς. β. (ψ) ἀφορ. *Α.* ια. ιθ. περὶ χυμ. γ. νούσων γ. κδ. ἀφορ. *Α.* κ. *Β.* κθ. χυμῶν *Γ.* πγ. Ἀλέξανδ. Τραλλ. *Η.* ζ. θ. (ω) ἀφορ. *Α.* κε.